κράτους.] ἐν τοῖς πλείοσιν ἄριστον, Ἀσκληπιάδης τὸ ὅσιον. ἔστι δὲ ἐξ Ἀγαμέμνονος Αἰσχύλου. βουβωνιῶ δὲ, φλεγ- | μαίνω τοὺς βουβῶνας.

Σύστημα κατὰ περικοπὴν στίχων ς'.

Δι. Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν κόπων ὅσον;
Ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι,
Ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
Ευ. Μὴ, πρὶν γ' ἀκούσῃς χἀτέραν στάσιν μελῶν,
Ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
Αἰ. Ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

BA. Proh Iuppiter, quid hoc laboris? quid rei?
Ego hinc me conferam curriculo in balneum,
Nam ex sordibus, dolores inguinis sentio.
B
EV. Noli priusquàm alteram stationem carminum
Percipias, compositam è Citharœdicis modis.
ÆS. Agè, perduc ad finem: sed sordes ne adyce.

Σχόλια. Στάσιν μελῶν.] στάσιμον μέλος, ὃ ᾄδουσιν ἑστάμενοι οἱ χορευταί. Ἐκ τῶν κιθαρῳδικῶν νόμων.] Τι- μαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταγμένως.

ᾨδὴ κώλων ιδ'.
C

Ευ. Ὅπως Ἀχαιῶν
Δίθρονον κράτος Ἑλλάδος ἥβας
Τὸ φλαττοθραττοφλαττόθρατ.
Σφίγγα δυσαμεριᾶν
Πρύτανιν κύνα πέμπει
Τὸ φλαττοθραττοφλαττόθρατ.
Ξὺν δορὶ καὶ χερὶ πράκτορι
Θούριος ὄρνις,
Τὸ φλαττοθραττοφλαττόθρατ.
Κυρεῖν παρασχὼν,
Ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
Τὸ φλαττοφλαττόθρατ.
Τὸ συγκλινὲς ἐπ' Αἴαντι,
Τὸ φλαττοφλαττόθρατ.

EV. Vt nunc Achiuum
Bifidum imperium, Argolidis vim,
To Phlattothrattophlattothrat:
Sphingémque tristificam
Dominúmque canem det.
To Phlattothrattophlattothrat:
Cum iaculo & valida manu.
D
Bellicus ales,
To Phlattothrattophlattothrat:
Prædam vt feroces
Aquilæ super aëra ferrent:
To Phlattophlattothrat.
Quod incline erat Aiaci,
To Phlattophlattothrat.

Σχόλ. Ὅπως Ἀχαιῶν.] ᾠδὴ κώλων ιδ'. ὧν τὸ πρῶτον ἰαμβικὸν ἑφθημιμερές. τὸ β' ἀναπαιστικὸν ἑφθημιμερές. τὸ δὲ δακτυλικὸν πενθημιμερές. τὸ ε' φερεκράτειον. τὸ ζ' τετράμετρον ἀκατάληκτον. τὸ η' δίμετρον. τὸ ι' ὅμοιον τῷ α'. τὸ ια' ὅμοιον τῷ β'. τὸ ι' β' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπὶ μεμιγμένον διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ ἐφύμνιον δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Εὐριπίδης δὲ ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπαρμένα λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων. τοῦτο μὲν τοι ἐξ Ἀγαμέμνονος. δίθρονον δὲ κράτος αὐτόν τε καὶ τὸν Μενέλαον. ἥβας δὲ τὴν νεότητα. ἔστι δὲ ἀναπόδοτον. Τὸ φλαττοθρατ- τόφλατ.] τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιοῦντα. τι-
E
F
νὲς δὲ σημειοῦνται αὐτὸ, ὅτι διορθωτῶν τινες, περιέλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις. Σφίγγα δὲ δυσαμερίαν.] τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν. παραίτιον θανάτου. ταύτας δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. θούριος δὲ ὄρνις ἡ πολεμοῦσα Θηβαίους τύχη. τὸ δὲ ξὺν δορὶ καὶ χερὶ πράκτορι ἐξ Ἀγαμέμνονος ἐκ τῆς συνεπείας τοῦ κύριός εἰμι θροεῖν. ἐπειδὴ δὲ οἱ τῆς σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος πλήττει, διὰ τοῦτο δόρατι εἶπεν. Ἰταμαῖς κυσὶ.] τοῖς ἁρπακτικοῖς ἀετοῖς. ταῦτα δὲ ὡς ἀσαφῆ παρελθε. Τὸ συγκλινὲς ἐπ' Αἴαντι.] Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρησσῶν αὐτὸ εἶναι.

Σύστημα κατὰ περικοπὴν στίχων ιγ.

Δι. Τί τὸ φλαττόθρατ; τοῦτ' ἐστὶν ἐκ Μαραθῶνος; ἢ
Πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη;
Αἰ. Ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
Ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
Λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων.
Οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων

BA. Quid est phlattothrat? vtrum ex solo Marathonio?
Aut vnde hoc collegisti aquatorum melos?
ÆS. At ego ex bono traduxi hæc in aliud bonū:
G
Ne idem & vnum pratū Musarū cū Phrynicho
Viderer decerpere. Sed hic Euripides
Ab omnibus meretriculis sumpsit modos

Σχόλια. Τί τὸ φλαττόθρατ.] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ. ἐπὶ τῷ τέλει παράγραφος. Ἐκ Μαραθῶνος.] ἐπεὶ ὁ φλέως ἄνθος ἐν Μαραθῶνι, ὃν οἱ ἰδιῶται φλόμον. διὰ τὸ ἔχειν ἐν ἀρχῇ παρόμοιον τῷ φλέῳ τὸ φλαττο. ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος, ἑλώδης γὰρ ὁ τόπος. Ἱμονιοστρόφου.]